τοῦ β. τὸ α γὰρ ἂν πρὸς τὸ γ ἐλάσσονα λόγον εἶχεν ἤπερ
β πρὸς τὸ γ· οὐκ ἔχει δέ· οὐκ ἄρα ἔλασσόν ἐστι τὸ α τοῦ
β. ἐδείχθη δὲ οὐδὲ ἴσον· μεῖζον ἄρα ἐστὶ τὸ α τοῦ β. ἔχ
ει δὴ πάλιν τὸ γ πρὸς τὸ β μείζονα λόγον ἤπερ τὸ γ πρὸς
τὸ α· λέγω ὅτι ἔλασσόν ἐστι τὸ β τοῦ α. εἰ γὰρ μή, ἤτοι ἴ
σον ἐστὶν ἢ μεῖζον. ἴσον μὲν οὖν οὐκ ἔστι τὸ β τῷ α· τὸ γ
ἄρα ἂν πρὸς ἑκάτερον τῶν α β τὸν αὐτὸν εἶχε λόγον·
οὐκ ἔχει δέ· οὐκ ἄρα ἴσον ἐστὶ τὸ α τῷ β. οὐδὲ μὴν μεῖζον
ἐστὶ τὸ β τοῦ α· τὸ γ γὰρ ἂν πρὸς τὸ β ἐλάσσονα λόγον εἶ
χεν ἤπερ πρὸς τὸ α· οὐκ ἔχει δέ· οὐκ ἄρα
μεῖζόν ἐστι τὸ β τοῦ α. ἐδείχθη δὲ ὅτι οὐδὲ
ἴσον· ἔλαττον ἄρα ἐστὶ τὸ β τοῦ α. τῶν ἄ
ρα πρὸς τὸ αὐτὸ λόγον ἐχόντων τὸ μείζονα
λόγον ἔχον, μεῖζόν ἐστιν· καὶ πρὸς ὃ τὸ αὐ
τὸ μείζονα λόγον ἔχει, ἐκεῖνο ἔλασσόν ἐστιν·
ὅπερ ἔδει δεῖξαι :~

ια Οἱ τῷ αὐτῷ λόγοι οἱ αὐτοί, καὶ ἀλλήλοις εἰσὶν οἱ αὐτοί. ἔστω
σαν γὰρ ὡς μὲν τὸ α πρὸς τὸ β, οὕτως τὸ γ πρὸς τὸ δ·
ὡς δὲ τὸ γ πρὸς τὸ δ, οὕτως τὸ ε πρὸς τὸ ζ· λέγω ὅτι ἐστὶν
ὡς τὸ α πρὸς τὸ β, οὕτως τὸ ε πρὸς τὸ ζ. εἰλήφθω γὰρ
τῶν α γ ε ἰσάκις πολλαπλάσια τὰ η θ κ· τῶν δὲ
β δ ζ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ λ μ ν. καὶ
ἐπεί ἐστιν ὡς τὸ α πρὸς τὸ β, οὕτως τὸ γ πρὸς τὸ δ, καὶ
εἴληπται τῶν μὲν α γ ἰσάκις πολλαπλάσια τὰ η θ,
τῶν δὲ β δ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ
λ μ· εἰ ἄρα ὑπερέχει τὸ η τοῦ λ, ὑπερέχει καὶ τὸ θ [illegible]

ἀντιστροφὴ τοῦ ὅρου [illegible]

[illegible] ἴσον, καὶ εἰ ἔλαττον, ἔλαττον. πάλιν ἐπεί ἐστιν
ὡς τὸ γ πρὸς τὸ δ, οὕτως τὸ ε πρὸς τὸ ζ, καὶ εἴληπται τῶν
[illegible] τὰ θ κ, τῶν δὲ δ ζ ἄλλα
[illegible] ἰσάκις πολλαπλάσια τὰ μ ν· εἰ ἄρα ὑπερ
έχει τὸ θ τοῦ μ, ὑπερέχει καὶ τὸ κ τοῦ ν, καὶ εἰ ἴσον, ἴσον,
[illegible] ἀλλ' εἰ ὑπερέχει τὸ θ τοῦ μ,
[illegible] καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλαττον
[illegible] ὑπερέχει τὸ η τοῦ λ, ὑπερέχει καὶ
[illegible] ἴσον, ἴσον, καὶ εἰ ἔλαττον, ἔλαττον· καὶ
[illegible] τῶν α ε ἰσάκις
[illegible] τὰ λ ν τῶν
[illegible] πολλαπλάσια
[illegible] ἄρα ὡς τὸ α
πρὸς τὸ β, οὕτως τὸ ε πρὸς τὸ ζ.
οἱ ἄρα τῷ αὐτῷ λόγοι οἱ αὐτοί,
καὶ ἀλλήλοις εἰσὶν οἱ αὐτοί· ὅπερ
ἔδει δεῖξαι :~



ιβ Ἐὰν ᾖ ὁποσαοῦν μεγέθη ἀνάλογον, ἔσται ὡς ἓν τῶν
ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, οὕτως ἅπαν
τα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα.
ἔστωσαν ὁποσαοῦν μεγέθη ἀνάλογον [illegible] ζ
ὡς τὸ α πρὸς τὸ β, οὕτως τὸ γ πρὸς τὸ δ, καὶ τὸ ε πρὸς
τὸ ζ· λέγω ὅτι ἐστὶν ὡς τὸ α πρὸς τὸ β, οὕτως τὰ α γ ε
πρὸς τὰ β δ ζ. εἰλήφθω γὰρ τῶν μὲν α γ ε ἰσάκις
πολλαπλάσια τὰ η θ [illegible] τῶν δὲ β δ ζ ἄλλα ἃ
ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ λ [illegible] καὶ ἐπεί ἐστιν

ἐπὶ μόνων ὁμογενῶν :

BIBLIOTHECA BODLEIANA

BIBLIOTHECA BODLEIANA